πλάτος ποιοῦν τὴν ΓΜ· ῥητὴ ἄρα καὶ ἡ ΓΜ καὶ σύμμε-
τρος τῇ ΓΔ μήκει· καὶ ἐπεὶ ὅλον μὲν τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀ-
πὸ τῶν ΑΗ ΗΒ· ὧν τὸ ΓΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ· λοι-
πὸν ἄρα τὸ ΖΛ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΗ ΗΒ· τε-
τμήσθω οὖν ἡ ΖΜ δίχα κατὰ τὸ Ν σημεῖον καὶ ἤχθω
διὰ τοῦ Ν ὁποτέρᾳ τῶν ΓΔ ΜΛ παράλληλος ἡ ΝΞ·
ἑκάτερον ἄρα τῶν ΖΞ ΝΛ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν
ΑΗ ΗΒ· καὶ ἐπεὶ τὸ δὶς ὑπὸ τῶν ΑΗ ΗΒ μέσον ἐστὶ καί ἐστιν
ἴσον τῷ ΖΛ· καὶ τὸ ΖΛ ἄρα μέσον ἐστί· καὶ παρὰ ῥητὴν
τὴν ΖΕ παράκειται πλάτος ποιοῦν τὴν ΖΜ· ῥη-
τὴ ἄρα ἐστὶν ἡ ΖΜ καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει· καὶ
ἐπεὶ τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΗ ΗΒ ῥη-
τόν ἐστι· τὸ δὲ δὶς ὑπὸ τῶν ΑΗ ΗΒ μέσον· ἀσύμμετρα
ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΗ ΗΒ τῷ δὶς ὑπὸ τῶν ΑΗ ΗΒ·
ἴσον δέ ἐστι τὸ ΓΛ τοῖς ἀπὸ τῶν ΑΗ ΗΒ· τῷ δὲ δὶς
ὑπὸ τῶν ΑΗ ΗΒ ἴσον τὸ ΖΛ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ
ΓΛ τῷ ΖΛ· ὡς δὲ τὸ ΓΛ πρὸς τὸ ΖΛ, οὕτως ἐστὶν ἡ ΓΜ
πρὸς τὴν ΜΖ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΜ τῇ ΜΖ
μήκει· καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα ΓΜ ΜΖ ῥη-
ταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν
ἡ ΓΖ· λέγω ὅτι καὶ τετάρτη· ἐπεὶ γὰρ αἱ ΑΗ ΗΒ δυνάμει
εἰσὶν ἀσύμμετροι· ἀσύμμετρον ἄρα καὶ τὸ ἀπὸ τῆς ΑΗ τῷ
ἀπὸ τῆς ΗΒ· καί ἐστι τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον τὸ ΓΘ·
τῷ δὲ ἀπὸ τῆς ΗΒ ἴσον τὸ ΚΛ· ἀσύμμετρον ἄρα ἐστὶ
τὸ ΓΘ τῷ ΚΛ· ὡς δὲ τὸ ΓΘ πρὸς τὸ ΚΛ, οὕτως ἐστὶν ἡ
ΓΚ πρὸς τὴν ΚΜ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΚ τῇ ΚΜ



μήκει· καὶ ἐπεὶ τῶν ἀπὸ τῶν ΑΗ ΗΒ μέσον ἀνάλογόν ἐστι τὸ ὑ-
πὸ τῶν ΑΗ ΗΒ· καί ἐστιν ἴσον τὸ μὲν ἀπὸ τῆς ΑΗ τῷ ΓΘ·
τὸ δὲ ἀπὸ τῆς ΗΒ τῷ ΚΛ· τὸ δὲ ὑπὸ τῶν ΑΗ ΗΒ τῷ
ΝΛ· τῶν ἄρα ΓΘ ΚΛ μέσον ἀνάλογόν ἐστι τὸ ΝΛ· ἔστιν
ἄρα ὡς τὸ ΓΘ πρὸς τὸ ΝΛ, οὕτως τὸ ΝΛ πρὸς τὸ ΚΛ· ἀλλ' ὡς μὲν τὸ ΓΘ πρὸς τὸ ΝΛ, οὕτως ἐστὶν ἡ ΓΚ πρὸς τὴν ΝΜ·
ὡς δὲ τὸ ΝΛ πρὸς τὸ ΚΛ, οὕτως ἐστὶν ἡ ΝΜ πρὸς τὴν ΚΜ·
ὡς ἄρα ἡ ΓΚ πρὸς τὴν ΜΝ, οὕτως ἐστὶν ἡ ΜΝ πρὸς τὴν
ΚΜ· τὸ ἄρα ὑπὸ τῶν ΓΚ ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς
ΜΝ τουτέστι τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΖΜ· ἐπεὶ
οὖν δύο εὐθεῖαι ἄνισοί εἰσιν αἱ ΓΜ ΜΖ καὶ τῷ τετάρτῳ
μέρει τοῦ ἀπὸ τῆς ΜΖ ἴσον παρὰ τὴν ΓΜ παρα-
βέβληται ἐλλεῖπον εἴδει τετραγώνῳ τὸ ὑπὸ τῶν ΓΚ
ΚΜ καὶ εἰς ἀσύμμετρα αὐτὴν διαιρεῖ· ἡ ἄρα ΓΜ τῆς
ΜΖ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ· καὶ
ἔστιν ὅλη ἡ ΓΜ σύμμετρος μήκει τῇ ἐκκειμένῃ ῥη-
τῇ τῇ ΓΔ·




ἡ ἄρα ΓΖ ἀ-
ποτομή ἐστι
τετάρτη· τὸ
ἄρα ἀπὸ ἐ-
λάσσονος πα-
ρὰ ῥητὴν πα-
ραβαλλόμενον
πλάτος ποιεῖ ἀποτομὴν τετάρτην :~

Τὸ ἀπὸ τῆς μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσης παρὰ
ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν